eul_wid: dru-aa

*Σώφρων ὁ Συρακούσιος* · Sophron of Syracuse

# Mime Fragments of Daily Life

*Ἀποσπάσματα περὶ Βίου Καθημερινοῦ*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric (frg)
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

book 1.1 φωρτάτους ἀεὶ καπήλους
book 1.2 παρέχεται.
book 2* ἄκουε νῦν καὶ ἐμεῦ, Ῥόγκα.
book 3.1 ὑποκατώρυκται δὲ ἐν κυαθίδι
book 3.2 τρικτὺς ἀλεξιφαρμάκων.
book 5 πεῖ γὰρ ἁ ἄσφαλτος; πῦς, Θεστυλί, σκοπῆι τύ;
book 6*.1 κύων
book 6*.2 πρὸ μεγαρέων μέγα ὑλακτέων.
book 10* φέρ' ὦ τὸν δρίφον.
book 11.1 κἤπειτα λαβὼν
book 11.2 προῆχε, τοὶ δ' ἐβάλλιζον.
book 12.1 βαλλίζοντες τὸν θάλαμον
book 12.2 σκάτους ἐνέπλησαν.
book 14.1 συμβουλεύω γ' ἐμφαγεῖν· ἄρτον γάρ
book 14.2 τις
book 14.3 τυρῶντα
book 14.4 τοῖς
book 14.5 παιδίοις ἴαλε.
book 15.1 πάρφερε, Κοικόα, τὸν
book 15.2 σκύφον μεστόν.
book 16.1 τάλαινα Κοικόα, κατὰ χειρὸς δοῦσα ἀπόδος τάχ' ἁμὶν τὰν
book 16.2 τράπεζαν.
book 18* πίμπλη δέ, Κοικόα.
book 19*.1 αἰ δὲ μὴ ἐγὼν ἔμασσον
book 19*.2 ταῖς αὐταυτᾶς

book 19*.3 χερσίν.

book 20.1 ἔτι μεθὲν ἁ καρδία

book 20.2 παδῆι.

book 21 ἃ δ’ ἄρ’ ἁμὲ ἐλωβῆτο.

book 22* ἦ ῥα καλῶς ἀποκαθάρασα ἐξελεπύρωσεν.

book 23* αὐτῶ ὀρῆις, Φύσκα.

book 24.1 [spk_—]τίνες δ’ ἐντί ποκα, φίλα, τοίδε

book 24.2 τοὶ μακρογόγγυλοι; — σωλῆνές θην

book 24.3 τοῦτοί γα, γλυκύκρεον κογχύλιον, χηρᾶν γυναικῶν λίχνευμα.

book 25 αἵ γα μὰν κόγχαι, ὥσπερ αἰκ ἐξ ἑνὸς κελεύματος κεχάναντι ἁμῖν πᾶσαι, τὸ δὲ κρῆς ἑκάστας ἐξέχει.

book 26 ἴδε καλᾶν κουρίδων, ἴδε καμμάρων, ἴδε φίλα· θᾶσαι μὰν ὡς ἐρυθραί τ’ ἐντὶ καὶ λειοτριχιῶσαι.

book 27.1 δεῖπνον

book 27.2 ταῖς θείαις κριβανίτας καὶ ὁμώρους καὶ ἡμιάρτιον Ἑκάται.

book 28*.1 τίς

book 28*.2 σταιτίτας ἢ κλιβανίτας ἢ ἡμιάρτια πέσσει;

book 29.1 εἰς νύκτα με αἰτιᾶι σὺν ἄρτωι

book 29.2 πλακίται.

book 30 τῶν δὲ χαλκωμάτων καὶ τῶν ἀργυρωμάτων ἐγάργαιρεν ἁ οἰκία.

book 32.1 θᾶσαι ὅσα φύλλα καὶ κάρφεα

book 32.2 τοὶ παῖδες

book 32.3 τοὺς ἄνδρας βαλλίζοντι· οἷόνπερ

book 32.4 φαντί, φίλα, τοὺς

book 32.5 Τρῶας τὸν Αἴαντα τῶι

book 32.6 παλῶι.

book 33.1 πρὶν αὐτὰν τὰν νόσον εἰς τὸν μυελὸν

book 33.2 σκιρωθῆναι.

book 34 ὑγιώτερον κολοκύντας.

book 35.1 τατωμένα

book 35.2 τοῦ κιτῶνος, ὁ τόκος νιν ἁλιφθερώκει.

book 36* ἅμα τέκνων θην δευμένα.

book 37 ὁ μισθὸς δεκάλιτρον.

book 39* ἃ δ’ ἀμφ’ ἄλητα κυπτάζει.

book 41.1 ἐνθάδε κυπτάζοντι

book 41.2 πλεῖσται γυναῖκες.

book 42 ἐξ Ἑστίας ἀρχόμενος καλέω Δία πάντων ἀρχαγέταν.

book 46.1 ἁ δὲ γαστὴρ ὑμέων καρχαρίας ὅκκα

book 46.2 τινὸς δῆσθε.

book 48

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγκίκρα, ὡς εἴω.
book 49 λοξῶν τὰς λογάδας.
book 50 τρίγλας μὲν γένηον, τριγόλα δ’ ὀπισθίδια.
book 52*.1 ἐνθάδε ὦν κἠγὼ παρ’ ὑμὲ τοὺς ὄτριχας ἐξορμίζομαι
book 52*.2 πλόον δοκάζων· ποντίναι γὰρ ἤδη
book 52*.3 τοῖς
book 52*.4 ταλικοῖσδε
book 52*.5 ταὶ ἄγκυραι.
book 53*.1 κνυζοῦμαι δὲ οὐδὲν ἰσχύων· ἁ δὲ ξυσμὰ ἐκ
book 53*.2 ποδὸς εἰς κεφαλὰν ἱππάζεται.
book 54*.1 τὸ γὰρ ἀπεχθόμενον γῆρας ἁμὲ μαραῖνον
book 54*.2 ταριχεύει.
book 55 [spk_—]... τί μὰν ξύσιλος; — τί γάρ; σῦφαρ ἀντ’ ἀνδρός.
book 56.1 καθαιρημένος θην καὶ τῆνος ὑπὸ τῶι
book 56.2 χρόνωι
book 57.1 ὦ οὗτος, ἦ οἰῆι
book 57.2 στρατείαν ἐσσεῖσθαι;
book 58.1 οὐχ ὁ δεῖν
book 58.2 τυ ἐπικαζε.
book 59*.1 Ἡρακλῆς
book 59*.2 τεοῦς κάρρων ἦς.
book 60* ὑμὲς δὲ ἐπεγγυάμενοι θωκεῖτε.
book 61.1 ἐμὲ δ’ Ἀρχωνίδας ἴαλλε
book 61.2 παρ’ ὑμέ.
book 62*.1 λιχνοτέρα τᾶν
book 62*.2 πορφυρᾶν.
book 63 καταπυγοτέραν τ’ ἀλφηστᾶν.
book 64 κέστραι βότιν κάπτουσαι.
book 66 τριγόλαι ὀμφαλοτόμωι.
book 67 τριγόλαν τὸν εὐδιαῖον.
book 68*.1 Ἠπιόλης ὁ τὸν
book 68*.2 πατέρα
book 68*.3 πνίγων.
book 70*.1 Ἡρακλῆς Ἠπιάλητα
book 70*.2 πνίγων.
book 72 σῶσαι δ’ οὐδὲ τὰς δύο λίτρας δύναμαι.
book 73* Ἡράκλεις, πνίγεις γύλιον τύ.
book 74* μωρότερος εἶ Μορύχου, ὃς τἄνδον ἀφεὶς ἔξω τᾶς οἰκίας κάθηται.
book 75

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πῦς ἐς μυχὸν καταδύηι;
book 81 ἐγὼν δέ τυ καὶ πάλαι ὤψεον.
book 82.1 τί τυ ἐγὼν
book 82.2 ποιέω;
book 83.1 ἐκπεφάναντί τεος
book 83.2 ταὶ δυσθαλίαι.
book 84.1 οὐχ ἥσσων
book 84.2 τεοῦ.
book 85 τουτῶ θάμεθα.
book 86 μόνον ἐμίνγα τὸ τοῦ γόγγρου τέμαχος.
book 87 οὐκέτι οἱ δωσῶ.
book 88 τί οὐ παρ’ ἔμ’ ἐστράφθη;
book 89 ὑμέων γὰρ ἀπρὶξ ἔχονται.
book 90.1 ὃ δ’ ἐκ τῶ σκότεος
book 90.2 τοξεύων αἰὲν ἕνα
book 90.3 τινὰ ὧν ζυγαστροφεῖ.
book 91 ὅσα κα ὗμιν αἰνέσω.
book 92.1 οὐ μάν
book 92.2 τοι δίφρον ἐπημμένον ὑμίν.
book 94.1 πῶς
book 94.2 ψε καὶ γινώσκομες;
book 95 τίς μοι τὰ λᾶια ἐκτίλλει;
book 96* οὐδ’ ὅπως ἄριστα.
book 97*.1 ταυτᾶι
book 97*.2 ταὶ θύραι, μᾶτερ.
book 98*.1 εἶ τὰ τῶν
book 98*.2 χοιραγχᾶν.
book 99 ὕδωρ ἄκρατον εἰς τὰν κύλικα.
book 100 στρουθωτὰ ἑλίγματα ἐντετμαμένα.
book 101.1 μελαινίδες γάρ
book 101.2 τοι νισοῦντι ἐμὶν ἐκ
book 101.3 τοῦ μικροῦ λιμένος.
book 104 βόες δὲ λαρινεύονται.
book 105 κατάστρεψον, τέκνον, τὰν ἡμίναν.
book 106 κἠκρατηρίχημες
book 110.1 ἐκ
book 110.2 τοῦ ὄνυχος γὰρ τὸν λέοντα ἔγραψεν. τορύναν ἔξεσεν. κύμινον ἔπρισεν.
book 117 ἐν ὅσσωι δέει δαδύσσεσθε.
book 118

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχε τὸ δελήτιον.
book 120 φέρε τὸ θαύμακτρον κὴπιθυσιῶμες.
book 121* ναὶ κάρρων 〈ὁ〉 βῶς.
book 123 ἐγὼ δὲ σίτου μὲν οὐδὲν ὀζαίνομαι.
book 125 πῶ τις ὧν ὄνον ὠνασεῖται;
book 126.1 τῶι χόλωι
book 126.2 χρέομαι.
book 127 κινησῶ δ’ ἤδη καὶ τὸν ἀφ’ ἱαρᾶς.
book 129.1 δειπνήσας ὠστίζεται
book 129.2 τοῖς
book 129.3 τρηματιζόντεσσι.
book 131 Ποτιδᾶ δραστοχαῖτα.
book 134 ὁδαῖός γ’ ἐσσί.
book 135* λαδρέοντι δὲ τοὶ μυκτῆρες.
book 144*.1 νῦν τ’ ἦνθες ἐς
book 144*.2 χορὸν νῦν τ’ ἔπραδες.
book 149 αἴ τις τὸν ξύοντα ἀντιξύει.
book 150 ὁ χοραγὸς ξύεται.
book 156 τῆτέ τοι κορῶναί ἐντι.
book 157 ἀργυρίων δεήσηι.
book 158 ἰλλοτέρα τᾶν κορωνᾶν.
book 163 κορώνας ἀνδούμενοι.
book 165 κύμβου ὄγκον ἔχων.
book 166 ἀεὶ δὲ πρὸς ἀῶ φύλλα ῥάμνου κραστιζόμεθα.
book 168 μοῖτον ἀντὶ μοίτου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org